εἰς ἐμὲ ἔχεις τοῦτο ποιῆσαι. τούτου δὲ γενομένου ἐλθὼν εἰς μέσον αἴσωπος, καὶ σιγὴν αἰτήσας ἔφη, ἄνδρες φιλόσοφοι, ἐπεὶ ὁ ἀετὸς ἐστὶ τῶν ὀρνέων κύριος ὡς βασιλεὺς τῶν ἀνθρώπων. ὃν δὲ ἀπὸ τῶν νόμων στρατηγικὸν δακτύλιον ἁρπάσας ἔβαλεν εἰς δούλου κόλπον, τὶς τῶν νῦν βασιλέων βούλεται ὑμῶν τὴν ἐλευθερίαν καταδουλῶσαι, καὶ τοὺς τῶν θεῶν νόμους ἀκυρῶσαι. ταῦτα ἐν τῷ θεάτρῳ παρὰ τοῦ αἰσώπου ἀκούσαντες οἱ σάμιοι περίλυποι γεγόνασι. καὶ ἰδοὺ παραχρῆμα γραμματοφόρος ἐν χλαμίδι λαλούκῳ ἥκων ἐπιζητῶν τοὺς ἄρχοντας σαμίων. μαθὼν δὲ ἐκκλησίαν γίνεσθαι, παρῆλθ' εἰς τὸ θέατρον, καὶ εὐθέως δέδωκε τὰ τοῦ βασιλέως γράμματα. λύσαντες δὲ εὗρον οὕτως, κροῖσος βασιλεὺς λυδῶν σαμίων ἄρχουσι ~~καὶ~~ βουλῇ καὶ δήμῳ χαίρειν. κελεύω δὲ ὑμᾶς φόρους μοι παρέχειν καὶ τέλη χορη-